

SIGILL : COLL : HARVARD : CANTAB : NOV : ANGL : 1650
BOUGHT WITH
THE INCOME FROM
THE BEQUEST OF
CHARLES MINOT,
OF SOMERVILLE,
(Class of 1828,)
16 March, 1872.

AUGUSTISSIMI REGIS WÜRTTEMBERGIAE

GUILIELMI

FESTUM NATALITIUM

DIE XXVII SEPT.

POST CONCIONEM SACRAM

IN AULA NOVA

ORATIONE SOLENNI CELEBRANDUM

INDICIT

RECTOR ET SENATUS

LITERARUM UNIVERSITATIS TUBINGENSIS

Gottlieb Lucas Friedr. Tafel

PRAEMITTITUR

DE THEODOSIO MELITINO, INEDITO HISTORIAE BYZANTINAE SCRIPTORE,

EX CODICE TUBINGENSI

NOTITIA LITERARIA

TUBINGAE

APUD ERNESTUM EIFERTUM

MDCCCXXVIII.

Graecorum medii aevi, f. Byzantinorum, annales typis expressos tum verborum corruptela, tum rerum obscuritate haud mediocriter laborare, non est, quod magna exemplorum suppellectile demonstremus. Sciunt hoc queruntur-que, qui vel singulas istorum scriptorum editiones perlustrarunt, vel majores eorundem collectiones, Parisinam dicimus et Venetam, non summis tantum labris degustarunt.

Cujus incommodi medelam nova pollicetur collectio, quae Niebuhrii, viri eximii, consilio instituta, atque operâ Ejusdem aliorumque Doctorum parata, Bonnensium nunc typographorum prela exercet. Fiet editio codicum ope emendatior, additis vero scriptoribus, qui in bibliothecis latuerant, copiosior.

Ultimum hoc in votis jam habuerat vir pridem fato functus, de hoc quoque literarum genere meritissimus, Albertus Fabricius, qui in Bibliothecae suae graecae tomo VII. p. 470. (ed. Harl.), postquam recensuit regni orientalis scriptores, haec addit: *Latent longe plura ejusmodi chronica adhuc inedita in abditis bibliothecarum, quae, si non integra, saltem ex illis excerpta a viris, judicio praeditis, in lucem proferri esset operae pretium.*

Prudens sane viri docti consilium. Licet enim (quantum ex iis suspiceris, quae nostram bibliothecam inedita ornant) de magno illorum librorum vel numero vel volumine dubitemus, aliquid tamen laudis merebitur is, qui ista Anecdota in unum collecta tandem aliquando luci publicae commiserit. Is enim

Doctus, quod jam nunc spondere posse videmur, ex iis, quae nova ediderit, scriptorum editorum locos aliquammultos emendabit, nostram regni Graecorum millenarii notitiam illustrabit augebitque, postremo (ni socors fuerit in administranda provincia) multum habebit, unde lucem adspergat disputationi vixdum inchoatae, cui hunc titulum imponere libet: *quaenam ratio intercedat inter scriptores regni orientalis cum graecos, tum latinos?*

Verum redeamus ad Albertum Fabricium. Is enim in suo ineditorum chronographorum catalogo (l. c. p. 471 — 474) *Theodosium Melitinum* memorat, cujus codicem Ms., Constantinopoli a Stephano Gerlachio Tubingam allatum, celebravit M. Martinus Crusius, atque ex eo fragmentum *de nuptiis Theophili* imperatoris et Theodorae proposuit post epitomen Aethiopicae Heliodori historiae de Theagene et Chariclea a. 1584. 8. editam. Ejus libri, nunc Monacensis, sign. Cod. CCXVIII (Beiträge zur Geschichte und Literatur etc. von Aretin. Tom. IV. p. 366.), in nostra bibliotheca extat apographum Crusianum, liber formae quaternae, signatus XX, 27., in quo post Nostrum aliud sequitur Ineditum: Georgii Constantini πατριὰ Κωνσταντινουπόλεως.

Theodosii Melitini age jam undecim capita in lucem emittamus. Chronici hujus titulus idem ille est, qui primo imponitur capiti, quod sexta nostra pagina exhibet. Sumsit sua Theodosius e libro Geneseos (cum genuino, tum apocrypho), e variis historicis, chronographis. In priore libri sui parte (a mundi opificio usque ad Caesarem Augustum) cum Julio Polluce, cujus Chronicon post Bianconium a. 1792. Hardtius edidit, tam mirifice conspirat, ut alter alterum exscripsisse putandus sit. Et Julium quidem Pollucem Nostro antiquiorem statuunt, non alio usi argumento, quam quod in Valentis imperio narrandi finem faciat. Verum librarius scribendi finem ibi fecit, non auctor. Namque Andreas Darmarius, qui Julii Pollucis exemplar Monacense e codice Hispano descripsit, in fine libri sui haec addit: Οἶμαι, ἐλλιπὲς ἦν ὑπὸ τῆς παλαιότητος. Quare qui Julium hunc Pollucem in aevum

multo inferius detruserint, ii non valde errabunt. Hoc enim suadet genius scriptoris et natura. In eâdem vero libri parte non parum cum aliis quoque scriptoribus consentit, Zonara, Constantino Manasse, Scylitza, Cedreno, Leone Grammatico, all., quod nostra docebit undecim capitum editio.

Jam de Nostro haec habet Crusius sub finem apographi sui: „Χρονικὸν hoc Theodosii in plerisque omnibus ad verbum continetur in Annalibus Georgii Cedreni, qui plurium Imperatorum res gestas addit. Ergo Theodosio posterior videtur.“ Fallitur vir bonus. Theodosii nostri chronicon ante quidem desinit, quam Cedreni Annales. Hinc vero quis concludet, Theodosium Cedreno priorem fuisse, Cedrenumque sua e Theodosio sumsisse? Theodosius noster in priore libelli sui parte aut exscripsit Pollucem, aut exscriptus est a Polluce; in posteriore parte, quae tempus inter Constantinum M. et Constantinum (Sec. XI) elapsum complectitur, Leonem Grammaticum, Zonaram, Cedrenum, alios sequitur (*multo his brevior*), aut eosdem, quos modo memorati scriptores, narrandi fontes in usus suos convertit. Constantino saltem imperatore Noster non scripsit. Hujus enim imperatoris initia multo aliter narrasset.

In edendis capitibus ita versati sumus, ut narrationi Theodosianae locos aliorum parallelos substerneremus, textum vero, quem ne Crusius quidem satis emendavit, ab erroribus manifestis taciti purgaremus.

[I.]

Autogr. Fol. 1. a. || ΕΙΣ ΤΗΝ ΚΟΣΜΟΠΟΙΪΑΝ ΕΚ ΤΗΣ ΓΕΝΕΣΕΩΣ, ΚΑΙ ΕΞ ΑΛΛΩΝ ΙΣΤΟΡΙΚΩΝ ΕΦΕΞΗΣ ΣΥΝΑΓΩΓΗ, ΚΑΙ ΔΙΑΦΟΡΩΝ ΧΡΟΝΙΚΩΝ, ΘΕΟΔΟΣΙΟΥ.

Θεὸς ὁ ἄχρονος τόνδε κόσμον μὴ πρότερον ὑφεστῶτα ἐν χρόνῳ παράγων, ἐποίησεν ἐν ἀρχῇ οὐρανὸν καὶ γῆν. Συνεπέστη δὲ τῇ γῇ τότε ὕδωρ καὶ πῦρ· καὶ τοῦτο τεκμήριον ἐναργές, τὸ ἐκ λίθου μὲν καὶ σιδήρου, ὄντος ἐκ γῆς, πῦρ ἄφθονον ἐξάλλεσθαι. *) *Ταύτης γὰρ ἐκ μὴ ὄντων ὑποστάσης, δῆλον, ὅτι καὶ τὰ ἐν αὐτῇ· πάντα οὖν γέγονε κατὰ τὴν τοῦ θεοῦ βούλησιν. Ἐπειδὴ δὲ δίκην σκηνῆς ὁ οὐρανὸς περιταθεὶς τὸν ἐναποληφθέντα τόπον ἐσκότισεν, εἶπεν ὁ θεός· γενηθήτω φῶς.* [1]) *Καὶ εὐθὺς σὺν τῷ λόγῳ ἡ φύσις τοῦ φωτός, ἡ πάγκαλος αὕτη, παρήχθη, καὶ τὸ σκότος, τὸ ἐξ ἀντιφράξεως τοῦ οὐρανίου σώματος ἐπισυμβάν, διεσκέδασε, καὶ τὸν ἀλαμπῆ ἐκ τῆς τοιαύτης αἰτίας ἀέρα λαμπρότατον ἄφνω ἀνέδειξεν. Ὅτι δὲ πᾶν, ὅ τι ἦν πρὸ τῆς τοῦ κόσμου τούτου συστάσεως, ἐν φωτὶ ἦν, δῆλον·* [2]) *οὔτε γὰρ αἱ τῶν ἀγγέλων χορεῖαι, οὔτε πᾶσαι αἱ ἐπουράνιαι στρατιαὶ ἐν σκότει διῆγον, ἀλλ' ἐν φωτὶ καὶ πάσῃ εὐφροσύνῃ πνευματικῇ τὴν πρέπουσαν ἑαυταῖς λειτουργίαν ἐκπληροῦσαι,* [3]) *ἀφ' οὗ καὶ αὗται ἐκ μὴ ὄντος εἰς τὸ εἶναι παρήχθησαν. Τούτου τοίνυν τοῦ φωτὸς ἐκ τῆς εἰρημένης αἰτίας ἐναποκλεισθέντος ἄνω, αὖθις ἐδημιούργησεν ὁ θεὸς τὸ νῦν καταλάμπον καὶ φαιδρῦνον τὸν*

---

*) Sequi debebat: aquam provenire ex fontibus. Quod supplendum ex Jul. Polluce p. 6.

1) Zonaras (Scriptorr. histor. Byz. T. XII. p. 8. A. ed. Ven.): *Τῆς δὲ γῆς ἀφανείᾳ καλυπτομένης, ἐπεὶ καὶ σκότος ἦν . . ., τὸ φῶς παρήγαγεν ὁ θεός.*

2) Cedrenus (Scriptorr. histor. Byz. T. X. p. 2. B.): *Ἰστέον οὖν, ὅτι πᾶν, ὃ ἦν πρὸ τῆς τοῦ κόσμου τούτου συστάσεως* [adde ex Nostro: *ἐν φωτὶ ἦν*].

3) Cedren. l. c. eadem, quae Noster a verbis: *οὔτε γὰρ — ἐκπλ.*, iisdem verbis exhibet, nisi quod *ἐν σκότ. διῆγ.* ponit post *χορεῖαι*, et pro *ἑαυταῖς* legit *αὐταῖς*.

μεταξὺ οὐρανοῦ καὶ γῆς τόπον. Ταῦτα γεγένηται ἐν τῇ πρώτῃ τῆς κοσμοποιΐας ἡμέρᾳ. Ἐν ταύτῃ οὖν τῇ ἡμέρᾳ λέγει Μωσῆς ἐν τῇ λοιπῇ 4) Γενέσει ἐκτίσθαι τὰς οὐρανίους δυνάμεις.

[II.]

ΠΕΡΙ ΤΟΥ ΣΤΕΡΕΩΜΑΤΟΣ.

Πάλιν ἐν τῇ δευτέρᾳ ἡμέρᾳ, τῆς ἀβύσσου ἀπείρως καὶ ἀπλήστως τῇ γῇ περικεχυμένης, προσέταξε, στερέωμα γενέσθαι || τῶν ὑδάτων ἐν μέσῳ αὐτῶν, ὃ καὶ μετὰ ταῦτα οὐρανὸν Fol. προσηγόρευσε. καὶ σὺν τῷ κελεύσματι τὸ ἔργον ἀπετελέσθη. Στερέωμα δὲ ἐκλήθη τὸ δημιούργημα διὰ τὴν φύσιν τῶν ὑπερκειμένων ὑδάτων λεπτὴν οὖσαν καὶ ἀραιάν· οὐρανὸς δὲ διὰ τὸ καθορᾶσθαι τρόπον δέῤῥεως ὑπὲρ κεφαλῆς ἡπλωμένον. 5)

[III.]

ΠΕΡΙ ΤΗΣ ΘΑΛΑΣΣΗΣ.

Αὖθις δὲ τῇ τρίτῃ ἡμέρᾳ ἐκέλευσε τὰ ἐναποληφθέντα κατὰ τοῦ στερεώματος ὕδατα συνελθεῖν εἰς συναγωγὴν μίαν, ἣν καὶ ἐπωνόμασε θάλασσαν, πρὸς τὸ ὀφθῆναι τὴν ξηράν. καὶ οὕτως κοιλότητές τινες βαθεῖαι ἐγγεγενημέναι εἰσεδέξαντο αὐτά. 6)

[IV.]

ΠΕΡΙ ΤΗΣ ΞΗΡΑΣ.

Ξηρὰ δὲ ἡ γῆ ἐπεκλήθη, ἐπειδὴ καὶ ἴδιόν ἐστιν αὐτῆς κατὰ φύσιν τὸ πρόσρημα· τὸ γὰρ κυρίως ξηρόν ἐστι γῆ. Ἐπειδὴ δὲ ὥσπερ τι βάρος ἀπέθετο τὰ ἐναποκείμενα αὐτῇ ὕδατα, λοιπὸν βλαστάνειν προσετάχθη βοτάνην χόρτου, καὶ σπέρμα κατὰ γένος, καὶ ξύλον κάρπιμον·

---

4) Lege λεπτῇ, sive *parva*, sive *minore*. Zonar. l. c. B.: εἶδα μὲν οὖν ἐν τῇ λεπτῇ Γενέσει γεγραμμένον, ὡς ἐν τῇ πρώτῃ ἡμέρᾳ καὶ αἱ οὐράνιαι δυνάμεις πρὸ τῶν ἄλλων ὑπέστησαν κ. τ. λ. Λεπτὴ Γένεσις etiam ap. Cedrenum occurrit, coll. not. 14. Liber apocryphus Xylandro fuisse videtur ad Cedren. p. 1.

5) Zonar. l. c.: Εἶτα τὸ στερέωμα ὑπεστήσατο, ἐν μέσῳ τῶν ὑδάτων διατείνας αὐτό, ὥστε τὰ μὲν ἄνω αὐτοῦ ἐναπολειφθῆναι, τὰ δὲ κάτω περικεχύσθαι τῇ γῇ. Στερέωμα δὲ ἐκλήθη, ὅτι στεγανὸν τὸ σῶμα τούτου, καὶ οὐ λεπτὴν οὐδ' ἀραιὰν τὴν φύσιν ἔχει, κατὰ τὰ ὕδατα, ἐξ ὧν τὴν σύστασιν ἔσχηκεν, ὃ καὶ Οὐρανὸς ὠνομάσθη. Ταῦτα ἐν τῇ δευτέρᾳ ἡμέρᾳ ἐγένετο. Cedren. l. c. E: Ἐν τῷ δευτέρῳ δὲ νυχθημέρῳ ἐγένετο στερέωμα, ἔργον ἕν. στερέωμα δὲ ἐκλήθη τὸ δημιούργημα, διὰ τὸ τὴν φύσιν τῶν ὑπερκειμένων ἢ ὑποκειμένων λεπτὴν εἶναι καὶ ἀραιάν· οὐρανὸς δέ, διὰ τὸ καθορᾶσθαι τόπον [l. τρόπον. In versione est: *pellis instar*] δέρρεως ὑπὲρ κεφαλῆς ἡπλωμένος.

6) Zonar. l. c. C.: Ἐν δὲ τῇ τρίτῃ τὸ ὕδωρ τῆς γῆς ἅπαν καλύπτον τὸ πρόσωπον ἐκέλευσεν ὁ Θεὸς συναχθῆναι, καὶ ὀφθῆναι τὴν ξηράν. Καὶ ὁ λόγος ἔργον ἐγένετο, καὶ κοιλότητες βαθεῖαι γενόμεναι τὰ ὕδατα εἰσεδέξαντο.

καὶ εὐθὺς πρὸς καρπογονίαν συγκινηθεῖσα, τὰ μυρία τῶν βλαστημάτων τε καὶ φυτῶν περιεβάλλετο γένη, καὶ εὐπρεπὴς καὶ χαρίεσσα ἀνεφάνη. οὐ μόνον γὰρ ἐκ τῆς τῶν λημίων ἀναδόσεως ἐφαιδρύνετο, ἀλλὰ καὶ κέδρων καὶ κυπαρίσσων καὶ τῇ ἄλλῃ τῶν δένδρων πληθύϊ αὐτομάτῳ ἐξ αὐτῆς ἀνακυψάντων, ἱκανῶς κατεκοσμεῖτο. 7)

[V.]

ΠΕΡΙ ΤΩΝ ΦΩΣΤΗΡΩΝ.

Πάλιν ἐν τῇ τετάρτῃ ἡμέρᾳ φωστῆρας εἶπε γενέσθαι· καὶ ἐγένετο ἥλιός τε καὶ σελήνη καὶ ἄστρα, καθὼς ἠβουλήθη ὁ κελεύσας. καὶ τὸ καθαρώτατον ἐκεῖνο φῶς, τὸ ἐν τῇ πρώτῃ κτίσει, ἐν ἡμέρᾳ ἐν τούτοις καταμερίσας, πολυμερῆ ἐξ αὐτῶν παρέσχετο τῷ παντὶ ὠφέλειαν· μίαν μὲν τοῦ ἐκ τοῦ φαίνειν, καὶ ταῖς οἰκείαις λαμπηδόσι καταυγάζειν τὸν κόσμον πλουσίως· Fol. 2. a. ἑτέραν δὲ τὴν ἐκ τοῦ ἀντίσχειν καὶ καταδύεσθαι αἰτίαν οὖσαν τῆς τῶν χρόνων ἀ||παριθμήσεως· ἄλλην δὲ τὴν διά τινων σημείων εὐεργετοῦσαν διαφόρως τοὺς εὐσεβῶς στοχαζομένους, καὶ μὴ πέρα τοῦ μέτρου περιεργαζομένους, οἷά ἐστι καὶ διὰ τῆς σελήνης πολλάκις σημαινόμενα. 8) Λευκὴ γὰρ οὖσα ταῖς ἀκτῖσι περὶ τὴν ἡμέραν καὶ καθαρά, σταθερὰν εὐδίαν κατεπαγγέλλεται· παχεῖα δὲ ταῖς κεραίαις καὶ ὑπέρυθρος φαινομένη, ἢ ὕδωρ λάβρον ἀπὸ νεφῶν, ἢ χειμῶνα ἔσεσθαι μηνύει. Ὡσαύτως καὶ ὁ ἥλιος ἀνθρακώδης γινόμενος καὶ ὕφαιμος ταῖς ἀκτῖσιν ἢ τῷ

7) Cedren. l. c. p. 3. A.: Ἐν τῷ τρίτῳ νυχθημέρῳ φανέρωσις γῆς καὶ ἀναξήρανσις, παράδεισος, δένδρα παντοῖα, βοτάναι καὶ σπέρματα, ἔργα τέσσαρα. Ξηρὰ δὲ ἐπεκλήθη ἡ γῆ, ἐπειδὴ καὶ ἴδιον αὐτῆς ἐστι κατὰ φύσιν τὸ πρότερημα, τὸ γὰρ κυρίως ξηρὸν γῆ ἐστιν. ἐπειδὴ ὥσπερ τι βάρος ἀπέθετο τὰ ἐπικείμενα αὐτῇ ὕδατα, λοιπὸν βλαστάνειν προσετάχθη. Zonar. l. c.: Καὶ τὴν μὲν γῆν Ξηρὰν κατωνόμασε, Θαλάσσας δὲ τὰ τῶν ὑδάτων συστήματα. Κατὰ ταύτην δὲ τὴν ἡμέραν φυτά τε γῆθεν ἀνεδόθη καὶ σπέρματα. Ἔδει γὰρ ἄκοσμον οὖσαν τὴν γῆν κοσμηθῆναι ταῖς πόαις, καὶ τοῖς μυρίοις βλαστήμασι, καὶ τοῖς ἄνθεσι, καὶ τοῖς παντοίοις καρποῖς, καὶ τῶν δένδρων ταῖς χάρισιν.

8) Zonar. l. c.: Ἡ δὲ τετάρτη ἡμέρα τὴν τῶν φωστήρων ἔσχηκε γένεσιν, ἡλίου τε καὶ σελήνης καὶ τῶν λοιπῶν ἀστέρων. Καὶ τούτοις τὸν οὐρανὸν ὁ δημιουργὸς κατηγλάϊσε, καὶ τὸ κατὰ τὴν πρώτην ἡμέραν ὀφθὲν φῶς τοῖς φωστῆρσι τούτοις ἐνέθετο, κινήσεις αὐτοῖς, ἐπιτολάς τε καὶ δρόμους καὶ καταδύσεις διατυπώσας, ἵνα τε φωτίζοιτο δι' αὐτῶν τὸ περίγειον, καὶ ὁ χρόνος ἀπαριθμοῖτο ταῖς τούτων περιόδοις, παρέχοιντο δὲ δι' αὐτῶν τοῖς εὐθύτατα ταῖς αὐτῶν προσέχουσι φαύσεσι (καὶ μὴ περιεργασμένως σκοποῦσιν . . . .) μεγάλην καὶ ἀψευδῆ τὴν ἰθύτητα καὶ ὠφέλειαν. Cedren. l. c.: Τῇ τετάρτῃ ἡμέρᾳ ἐποίησεν ὁ θεὸς τὸν ἥλιον, τὴν σελήνην, καὶ τοὺς ἀστέρας, ἔργα τρία. τῶν φωστήρων γενομένων πολυμερὲς τῷ παντὶ παρεσχέθη ὄφελος, ἔκ τε τοῦ φαίνειν καὶ ταῖς οἰκείαις λαμπηδόσι καταυγάζειν τὸν κόσμον πλουσίως, ἔκ τε τοῦ ἀνίσχειν καὶ καταδύεσθαι τὴν τῶν χρόνων ἀπαρίθμησιν γίνεσθαι· ἀλλὰ καὶ τῶν σημείων, οἷά ἐστι διὰ τῆς σελήνης φαίνεσθαι.

ἀπαυγάσματι βιαίαν κίνησιν δηλοῖ ἐπιγενέσθαι. Πολλάκις οὖν ἐκ τῆς τοιαύτης σημειώσεως ὠφελήθησαν πολλοὶ πλωτῆρές τε καὶ γεωργοὶ καὶ ὁδοιπόροι. 9)

[VI.]

ΠΕΡΙ ΤΩΝ ΙΧΘΥΩΝ ΚΑΙ ΤΩΝ ΠΕΤΕΙΝΩΝ.

Ἐν δὲ τῇ πέμπτῃ ἡμέρᾳ ἐκέλευσεν ἐξαγαγεῖν τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν, καὶ πετεινὰ κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ πετόμενα· καὶ σὺν τῷ προστάγματι τὸ ἔργον ἐτελειοῦτο, τῆς πρὸς τὸ ζωογονεῖν ἐπιτηδειότητος ἐγγενομένης τοῖς ὕδασιν. Εὐθὺς γὰρ θάλασσα μὲν τὰ παντοδαπὰ γένη τῶν κτηνῶν ἀπέτεκε, ποταμοὶ δὲ καὶ λίμναι τῶν οἰκείων κατὰ φύσιν ἰχθύων ἐπληρώθησαν. Προήγαγε δὲ αὖθις καὶ τὰ πετεινὰ τὰ ὕδατα, τρόπον τινὰ συγγένειαν πρὸς τὰ νηκτὰ ἔχοντα. ὥσπερ γὰρ οἱ ἰχθύες ἐν τοῖς ὕδασι τῇ μὲν κινήσει τῶν πτερύγων ἐπὶ τὸ πρόσω χωροῦσι, τῇ δὲ συχνῇ μεταστροφῇ τοῦ ὀρνέου τὰς εὐθείας αὐτοῖς ὁρμὰς οἰακίζουσιν, οὕτω καὶ τὰ πετεινὰ κατὰ τὸν ἀέρα νηχόμενα τέμνουσι μὲν τοῦτον, 10) περῶσι δέ, ὅπου καὶ βούλονται.

[VII.]

ΠΕΡΙ ΤΩΝ ΚΤΗΝΩΝ ΚΑΙ ΤΩΝ ΘΗΡΙΩΝ.

Αὖθις δὲ ἐν τῇ ἕκτῃ ἡμέρᾳ ἐπετράπη ἐξαγαγεῖν ἡ γῆ ψυχὴν ζῶσαν κατὰ γένος, τετράποδα καὶ ἑρπετὰ καὶ θηρία· καὶ εὐθὺς προήγαγε τά τε ἄγρια καὶ ἥμερα ζῶα. ψυχὴν δὲ ζῶσαν ἐξαγαγεῖν ἐκέλευσεν, ἵνα ἐκ τούτου γινώσκηται τῆς τε ἀλόγου ψυχῆς ἡ διαφορὰ καὶ τῆς ἀνθρωπείας. Ἐκ γὰρ γῆς ἔφυη τῶν || ἀλόγων ἡ ψυχή, ἡ δὲ τοῦ ἀνθρώπου ἐκ τοῦ θείου ἐμφυ- Fo
σήματος συνέστη. Καὶ ὅτι γεηρὰ ἡ τῶν ἀλόγων ψυχή, ἐξ αὐτῆς ἐστι γνῶναι πάλιν τῆς γραφῆς. Εἴρηται γάρ· ψυχὴ παντὸς κτήνους τὸ αἷμά αὐτοῦ ἐστιν· αἷμα δὲ πηγνύμενον εἰς σάρκα μεταβάλλεται, σὰρξ δὲ φθειρομένη εἰς γῆν ἀναλύεται· εἰκότως οὖν γεώδης ἡ ψυχὴ τοῦ ἀλόγου. Ἐπεὶ δὲ λοιπὸν τῷ καταλλήλῳ κάλλει τὰ πάντα διεκόσμητο, οὐρανὸς μὲν ταῖς τῶν φωστήρων αὐγαῖς, θάλαττα δὲ καὶ ἀὴρ τοῖς νηκτοῖς καὶ ἀερίοις τῶν ζώων, γῆ δὲ ταῖς παντοίαις διαφοραῖς τῶν φυτῶν τε καὶ βοσκημάτων· ὥσπερ τινὰ βασιλέα ὁ τοῦ παντὸς ποιητὴς εἰσάγει

---

9) Cedren. l. c. B.: Λεπτὴ γὰρ οὖσα ταῖς κεραίαις, καὶ καθαρὰ περὶ τὴν ἡμέραν, σταθηρὰν εὐδίαν καταγγέλλεται· παχεῖα δὲ ταῖς κεραίαις καὶ ὑπέρυθρος φαινομένη, ἢ ὕδωρ λαῦρον ἀπὸ νεφῶν ἢ χειμῶνα ἔσεσθαι μηνύει. ὡσαύτως καὶ ὁ ἥλιος ἀνθρακώδης γενόμενος καὶ ὕφαιμος ταῖς ἀκτῖσιν, ἢ τὸ ἀπαύγασμα βιαίαν κίνησιν δηλοῖ ἐπιγενέσθαι. Καὶ μάρτυρες τούτων πλωτῆρες, καὶ γεωργοί, καὶ ὁδοιπόροι.

10) Zonar. l. c. D.: Τὰ πετεινὰ δὲ τὸν ἀέρα τέμνουσιν.

τὸν ἄνθρωπον ἐν κόσμῳ, οὐχ ὡς ἀπόβλητον ἔσχατον κτίσας, ἀλλ' ὡς ἅμα τῇ γενέσει βασιλεύειν ὀφείλοντα. [11])

[VIII.]

ΠΕΡΙ ΤΗΣ ΚΑΤΑΣΚΕΥΗΣ ΤΟΥ ΑΝΘΡΩΠΟΥ.

Τί γὰρ φησιν ἡ γραφή; Καὶ εἶπεν ὁ Θεός· ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν, καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ τῶν θηρίων, καὶ πάσης τῆς γῆς. Καὶ τὰ μὲν ἄλλα πάντα κτίσματα ῥήματι μόνῳ παρήχθη, ὁ δὲ ἄνθρωπος ἔσχεν ἐξαίρετόν τι κατὰ τὴν ποίησιν παρὰ ταῦτα. Βουλῆς γὰρ προηγησαμένης ἐκτίσθη, ἵνα ἐκ τούτου δειχθῇ, ὅτι περ τίμιόν [12]) τι χρῆμα ὑπάρχει. [13]) Τὸ γὰρ ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν οὐδὲν ἕτερον δείκνυσιν, ἢ ὅτι συμβούλῳ ἐχρήσατο ὁ πατὴρ τῷ μονογενεῖ αὐτοῦ υἱῷ ἐπὶ τῇ τούτου κατασκευῇ, τῷ ἀπαυγάσματι τῆς δόξης, κατὰ τὸν ἀπόστολον, καὶ χαρακτῆρι τῆς ὑποστάσεως αὐτοῦ. Οὔτε γὰρ ἐνῆν ἄλλῳ συμβούλῳ τινὶ κεχρῆσθαι, ἢ τῷ ζῶντι καὶ ἐνυποστάτῳ αὐτοῦ λόγῳ, τῷ ἀπαραλλάκτῳ κατ' εἰκόνα, καὶ ὁμοουσίῳ καὶ ἰσοδυνάμῳ. Εἴκοσι δύο ἔργα, ὡς λέγει Μωσῆς, ἔκτισεν ὁ Θεὸς ἐν ταῖς ἓξ ἡμέραις· διὸ καὶ εἴκοσι δύο γράμματα, καὶ βιβλία τοσαῦτα παρ' Ἑβραίοις, καὶ εἴκοσι δύο γενεαρχίαι ἀπὸ Ἀδὰμ μέχρι Ἰακώβ. [14])

---

11) Id. l. c. E.: Κατὰ δέ γε τὴν ἕκτην ψυχὴν ζῶσαν, τετράποδα καὶ θηρία καὶ ἑρπετά, ἐξαγαγεῖν ἡ γῆ προστετάκτο, καὶ κατὰ τὸ θεῖον ἐξῆκτο σύμπαντα πρόσταγμα. Ψυχῆς δὲ ζώσης ἐξαγωγὴν ἡ γραφὴ περιέχει ποιήσασθαι κελευσθῆναι τὴν γῆν, ἵν' οὕτω τῆς τοῦ ἀνθρώπου ψυχῆς ἐμφήνῃ πρὸς αὐτὴν τὸ διάφορον. Ἡ μὲν γὰρ τῶν ἄλλων ζώων γῆθεν ἐξέφυ κατὰ τὸ κέλευσμα, καὶ γηΐνη οὖσα εἰκότως ἂν λογίζοιτο καὶ φθαρτή, ἐπεὶ καὶ ἀλλαχοῦ φησιν ἡ γραφή· ψυχὴ παντὸς κτήνους τὸ αἷμα αὐτοῦ, τὸ δ' αἷμα πάντως φθειρόμενον. Τὴν δὲ τοῦ ἀνθρώπου ψυχὴν οὐχ ἡ γῆ ἀνῆκεν, ἀλλὰ τὸ θεῖον αὐτὴν τῷ Ἀδὰμ ἀνῆκεν ἐμφύσημα. Προϋποστήσας γὰρ ὁ ἀριστοτέχνης τὰ σύμπαντα, καὶ παραγαγὼν τὸν κόσμον ἐν τάξει τε καὶ ῥυθμῷ . . . καὶ ὡς ἐν ὑποδοχῇ βασιλέως ὥσπερ βασίλεια προετοιμάσας αὐτόν, οὕτω παράγει τὸν ἄνθρωπον οἷά τινα βασιλέα τῶν ἐπὶ γῆς, βασιλευόμενον ἄνωθεν.

12) Lege ὑπερτίμιον vel περιτίμιον.

13) Zonar. l. c. p. 9. B.: Τἆλλα μὲν γὰρ πάντα παρήχθησαν ῥήματι· ὁ δὲ καὶ αὐτουργίας ἠξίωται . . . . καὶ ἐνέφυσεν αὐτῷ ψυχὴν ζῶσαν, δι' ἣν καὶ κατ' εἰκόνα Θεοῦ λέγεται γενέσθαι ὁ ἄνθρωπος.

14) Cedren. l. c. D.: Ὁμοῦ πάντα τὰ ἔργα εἴκοσι δύο, ἰσάριθμα τοῖς Ἑβραϊκοῖς γράμμασι, καὶ ταῖς εἰκοσιδύο αὐτῶν βίβλοις, καὶ ταῖς ἀπὸ Ἀδὰμ ἕως Ἰακὼβ εἰκοσιδύο γενεαρχίαις, ὡς ἐν τῇ λεπτῇ φέρεται Γενέσει, ἣν καὶ Μωσέως εἶναί φασί τινες Ἀποκάλυψιν.

[IX.]

ΕΙΣ ΤΟ' ΚΑΤ' ΕΙΚΟΝΑ.

Ἐπειδὴ τοίνυν, ὡς εἴρηται, βασιλεὺς ὥσπερ εἰσήχθη ἐν κόσμῳ || ὁ ἄνθρωπος, εἰκότως καὶ Fol. κατ' εἰκόνα θεοῦ γεγένηται. ἔδει γὰρ τὸν μέλλοντα ἄρχειν τῶν ἄλλων ὥσπερ τινὰ εἰκόνα εἶναι ἔμψυχον τῆς τοῦ βασιλέως ὁμοιότητος, οὐκ ἐν πορφυρίδι καὶ σκήπτρῳ καὶ διαδήματι τὴν ἀξίαν ἐμφαίνοντα (ἐπεὶ μηδὲ τὸ ἀρχέτυπον ἐν τούτοις ἐστὶν), ἀλλ' ἐν τῷ κεκοσμῆσθαι τῇ ἀφθαρσίᾳ καὶ ἀθανασίᾳ καὶ ἀρετῇ. Τούτοις γὰρ τιμηθεὶς ὁ ἄνθρωπος τὴν πρὸς τὴν πρωτότυπον εἰκόνα ὁμοιότητα διασώζει, ἔτι δὲ καὶ ἡ αὐτεξουσιότης τὸ βασιλικὸν καὶ ἐπηρτημένον τῆς φύσεως τοῦ ἀνθρώπου καὶ πρὸς τὴν θείαν εἰκόνα ἐμφερὲς προφανέστατα δείκνυσιν. Καὶ κατὰ τοῦτον τὸν λόγον καὶ χειρῶν θεοῦ ἔργον ὁ ἄνθρωπος, διὰ τὸ τίμιον τῆς κατασκευῆς· βουλῆς γὰρ ἐνέργεια τὸ πᾶν. Εἶτα, μετὰ τὴν τούτων διάπλασιν, τί φησιν ἡ γραφή; Καὶ συνετέλεσεν ὁ θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἕκτῃ τὰ ἔργα αὐτοῦ, ἃ ἐποίησε, καὶ κατέπαυσεν ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ἃ ἐποίησε, καὶ ηὐλόγησε τὴν ἡμέραν τὴν ἑβδόμην καὶ ἡγίασεν, ὅτι ἐν αὐτῇ κατέπαυσεν ἀπὸ πάντων ἔργων αὐτοῦ, ὧν ἤρξατο ὁ θεὸς ποιῆσαι.

[X.]

ΘΕΟΔΟΣΙΟΣ Ο ΜΕΓΑΣ.

Auto
Fol. 2

Θεοδόσιος ὁ μέγας ἐβασίλευσεν ἔτη ις. Οὗτος τῷ γένει ἦν Ἰσπανός, [15]) ἔχων γυναῖκα ὀνόματι Πλάκιλλαν, ἐξ ἧς εἶχεν Ἀρκάδιον καὶ Ὁνώριον, ἧς τελευτησάσης Γάλλαν, ἀδελφὴν Γρατιανοῦ, ἔγημεν, [16]) καὶ κατὰ τῶν Σκυθῶν χωρήσας πάντας ἀνεῖλε. [17]) Τοὺς δὲ τοὺς συγγενεῖς Γρατιανοῦ ἀνελόντας τυράννους ἐν Ῥώμῃ, καὶ Ἀνδραγάθιον, τὸν αὐτὸν διαχειρισάμενον, πάντας θανάτῳ παρέδωκεν. [18]) Ἐπὶ δὲ αὐτοῦ γέγονεν ἡ δευτέρα σύνοδος ἐν Κωνσταντίνου πόλει, ὅτε καὶ

---

15) Cedren. p. 249. B.: Θεοδόσιος . . . τὸ γένει μὲν Ἴβηρ ἦν. Zonar. XIII, 17. p. 26. D.: τὸν ἐξ Ἰσπανίας μετεκαλέσατο Θεοδόσιον. Constantinus Manasse (Scriptorr. hist. Byz. T. XVI. p. 42. A.) Ἐξ Ἰσπανίας φύντα.

16) Cedr. l. c.: Ἔχων γυναῖκα ὀνόματι Πλάκιλλαν, ἐξ ἧς ἔσχεν Ἀρκάδιον καὶ Ὁνώριον. ἧς τελευτησάσης Γάλλαν ἀδελφὴν Γρατιανοῦ ἔγημεν. Zonar. l. c. 18. p. 27. E.: Οὗτος . . . εἶχε γυναῖκα . . . Πλάκιλλαν, ἐξ ἧς αὐτῷ ἐγγεννήθησαν Ἀρκάδιος καὶ Ὁνώριος . . . Θανούσης αὐτῆς ἔγημε Γάλλαν, τὴν τοῦ μεγάλου Οὐαλεντινιανοῦ [fratris Gratian. V. Cedr. p. 248. E.] θυγατέρα.

17) Cedr. l. c.: Οὗτος εὐθὺς τοὺς ἐν Θρᾴκῃ βαρβάρους κατὰ κράτος ἐνίκησε. [Zonar. 17. p. 26. E.: πάντων τούτων σχεδὸν τῶν βαρβάρων [Σκυθῶν] ἀπολωλότων.

18) Cedr. p. 256. C: Τῷ αι ἔτει νικήσας Μάξιμον, τὸν τύραννον, ἀνεῖλε, καὶ Ἀνδραγάθιον, τὸν στρατηγὸν αὐτοῦ, ὡς φονεύσαντα Γρατιανόν. Zonar. 18. p. 27. C.: Τόν τε Μάξιμον συλλαβὼν ἀνεῖλε, καὶ τὸν στρατηγὸν Ἀνδραγάθιον, ὃς ἐδολοφόνησε τὸν Γρατιανόν.

Γρηγόριος, ὁ θεόλογος, τῆς ἐκκλησίας ἐξεβλήθη. [19]) Ἤχθη δὲ ἐπὶ αὐτοῦ ἐν Κωνσταντίνου πόλει ἡ κεφαλὴ Ἰωάννου τοῦ βαπτιστοῦ, καὶ τὰ λείψανα τῶν ἁγίων μαρτύρων Τερεντίου καὶ Ἀφρικανοῦ, καὶ ἀπετέθη εἰς τὴν ἁγίαν Εὐφημίαν ἐν τῇ πέτρᾳ. [20]) Ὁ αὐτὸς ἤγαγεν ἐκ Ῥώμης τὸν μέγαν Ἀρσένιον, ἀκούσας περὶ τῆς αὐτοῦ φιλοσοφίας καὶ θεϊκῆς γνώσεως· καὶ τούτῳ Ἀρκάδιον καὶ Ὀνώριον τοὺς αὐτοῦ παῖδας δέδωκε παιδεύεσθαι παρ' αὐτοῦ τὰ ἱερὰ γράμματα, ὃν καὶ Βασιλεοπάτορα πεποίηκεν. [21]) Οὗτος ἐν νυκτὶ δεόμενος τοῦ θεοῦ ἤκουσε φωνῆς λεγούσης· Ἀρσένιε, φεῦγε τοὺς ἀνθρώπους, καὶ σώζῃ. Οὗτος ὁ Θεοδόσιος, οὓς Κωνσταντῖνος ὁ μέγας τῶν Ἑλλήνων ναοὺς οὐ κατέλυσεν, ἀλλὰ κλεισθῆναι μόνον προσέταξε, πάντας ἕως ἐδάφους κατέλυσε. [22]) Τελευτῶντος δὲ τὸν μὲν Ἀρκάδιον ἀποκαθίστησι βασιλέα Κωνσταντίνου πόλεως, καὶ τῆς ἑώας
fol. 28. b. πάσης· Ὀνώριον δὲ σὺν Πλακιδίᾳ χειροτονεῖ τῆς δύσεως βασιλέα· καὶ ὁ μὲν Ὀνώριος || ἔσχε βασιλείαν εἰς Ῥάβενναν, Πλακιδία δέ, ἡ θυγάτηρ Γρατιανοῦ, ἐν τῇ Ῥώμῃ. [23]) Ἐπὶ τούτων Γιζί-

---

19) Cedr. p. 250. B.: Τῷ ς̄ ἔτει τῆς βασιλείας τοῦ Μεγάλου Θεοδοσίου γέγονεν ἡ ἐν Κωνσταντίνου πόλει . . . δευτέρα σύνοδος. Zonar. 19. p. 28. E.: Διὸ καὶ ἡ δευτέρα συγκεκρότητο σύνοδος. Quod addit Noster, ὅτι καὶ Γρηγόριος, ὁ θεόλογος, τῆς ἐκκλησίας ἐξεβλήθη, nil significat aliud, quam, quod paulo infra narratur, Gregorium, invidia quorundam lacessitum, Patriarchatu decessisse.

20) Cedr. 250. A.: Τότε καὶ ἡ κεφαλὴ τοῦ Προδρόμου ἐν Κωνσταντίνου πόλει ἤχθη, καὶ [quod Noster paulo infra narrat] τὸ σῶμα τοῦ ἁγίου Παύλου, τοῦ Ὁμολογητοῦ, et p. 254. A.: Ἐπὶ τούτου τοῦ μεγάλου Θεοδοσίου καὶ ἡ τιμία κεφαλὴ τοῦ Προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου ἤχθη ἐν Κωνσταντίνου πόλει, ἣν καὶ ἐν τῷ τοῦ Προδρόμου ἀπέθετο ναῷ. In Georg. Constantini, aut Const. Manassis libro „πατρια Κωνσταντινουπόλεως," quem bibliotheca nostra msptum asservat, haec leguntur Fol. 121. a.: Ἐπὶ τοῦ αὐτοῦ τοῦ μεγάλου Θεοδοσίου ἀπετέθησαν λείψανα εἰς τὸν ναὸν τῆς ἁγίας Εὐφημίας Τερεντίου καὶ Ἀφρικανοῦ.

21) Cedr. 258. C.: Ὁ οὖν μέγας Θεοδόσιος ἤγαγεν ἀπὸ Ῥώμης. . . . τὸν μέγαν Ἀρσένιον, ἀκούσας περὶ τῆς σοφίας αὐτοῦ καὶ θεϊκῆς γνώσεως, καὶ τούτῳ Ἀρκάδιον καὶ Ὀνώριον τοὺς υἱοὺς αὐτοῦ δέδωκε παιδεύεσθαι ὑπ' αὐτοῦ τὰ ἱερὰ γράμματα, ὃν καὶ Βασιλεοπάτορα πεποίηκεν. Zonar. 19. p. 29. C.: Ἐκ Ῥώμης ἤγαγε τὸν μέγαν Ἀρσένιον . . . ἐπὶ λόγοις τε καὶ ἀρετῇ περιβοώμενον, καὶ αὐτῷ τοὺς παῖδας παρέδωκε . . . Τιμῆς δὲ μεγάλης ἠξίωσε τὸν Ἀρσένιον, καὶ χρήμασι κατεπλούτισεν.

22) Pergit Cedr.: Οὗτος ἐν νυκτὶ δεόμενος τοῦ θεοῦ ἤκουσε φωνῆς λεγούσης αὐτῷ· Ἀρσένιε, φεῦγε τοὺς ἀνθρώπους, καὶ σώζῃ. Οὗτος ὁ Θεοδόσιος τοὺς εἰδωλικοὺς ναούς, οὓς ὁ μέγας Κωνσταντῖνος κλεισθῆναι μόνον προσέταξε, πάντας ἕως ἐδάφους κατέλυσε.

23) Cedr. l. c. D.: . . Καταλείψας τοὺς δύο υἱοὺς αὐτοῦ, Ἀρκάδιον μὲν τὸν πρεσβύτερον τῆς ἑώας, Ὀνώριον δὲ τῶν Ἑσπερίων σὺν Πλακιδίᾳ· καὶ ὁ μὲν Ὀνώριος ἔσχε τὰ βασίλεια εἰς Ῥάβενναν, Πλακιδία δὲ ἡ

ριχος εἷλε Ῥώμην, καὶ αἰχμαλώτους ἦγε τὰς βασιλίδας. [24]) Ἐπὶ Θεοδοσίου, τοῦ μεγάλου, Γρηγόριος, ὁ Θεόλογος, τὴν ἐκκλησίαν Ἀναστασίας τῆς μάρτυρος, εὐκτηρίῳ οὔσῃ μικρῷ, τοὺς ὀρθοδόξους ἐδίδασκεν. [25]) Ἀναστασίαν δὲ τὸν μέγαν οἶκον ὁ ἱστορῶν φησιν ὀνομάζεσθαι, ἢ διὰ τὴν τῆς ὀρθῆς πίστεως, [26]) ἢ διὰ τὸ γυναῖκα ἐγκύμονα πεσοῦσαν ἄνωθεν τελευτῆσαι. Κοινῆς δὲ ὑπὸ τῶν ὀρθοδόξων γενομένης εὐχῆς, ἀναστῆναι τὴν τελευτήσασαν, Θεοδόσιος ἐδήλωσε Δημοφίλῳ, ἢ τῆς Ἀρείου πλάνης ἀποστῆναι, ἢ τῶν ἐκκλησιῶν ὑπεκστῆναι. ἐξῆλθεν οὖν, τεσσαράκοντα ἔτη τῶν Ἀρειανῶν κατασχόντων τὰς ἐκκλησίας. [27]) Ἡ σύνοδος οὖν καὶ ὁ βασιλεὺς Γρηγόριον καὶ ἄκοντα βιασάμενοι τῷ θρόνῳ ἐνίδρυσαν, ὡς πολλὰ καμόντα, καὶ τῆς λώβης τῶν αἱρέσεων τὴν πόλιν ἐλευθερώσαντα. [28]) Τοὺς ἐξ Αἰγύπτου δὲ μαθὼν ὁ θεῖος Γρηγόριος τῷ λόγῳ τούτου φθονήσαντας, τὸν συντακτήριον λόγον ἐπιδειξάμενος ἑκουσίως τῆς ἐπισκοπῆς ὑπεχώρησε, Νεκταρίου ἀντ' αὐτοῦ ὑπὸ τοῦ βασιλέως προχειρισθέντος. [29]) Τὸ σῶμα Παύλου, τοῦ

θυγάτηρ Γρατιανοῦ ἐν τῇ Ῥώμῃ. Zonar. 19. p. 30. A.: Μερίσας δὲ ταύτην [τὴν βασιλείαν] τοῖς δυσὶν υἱέσιν αὐτοῦ, καὶ τῷ μὲν Ἀρκαδίῳ τὴν νέαν ἀπονείμας Ῥώμην, καὶ τὰ περὶ αὐτήν, καὶ τὸ ἑῷον τμῆμα· τῷ Ὀνωρίῳ δὲ τὴν πρεσβυτέραν Ῥώμην, προσκληρώσας καὶ τὰ Ἑσπέρια, ὁπόσα Ῥωμαίοις ἦσαν ὑπήκοα.

24) Fallitur Noster. Valentiniano imperante hoc accidit, teste Cedreno p. 275. B.: ὁ δὲ Γιζέριχος . . . εἰσῆλθεν εἰς Ῥώμην . . . λαβὼν τὴν Εὐδοξίαν τὴν βασιλίδα καὶ τὰ τέκνα αὐτῆς εἰς Ἀφρικὴν ἀπέπλευσεν. Cum Cedreno etiam Const. Manasse consentit, coll. Prolegg.

25) Corrige haec e Zonara et Cedreno. — Zonar. XIII, 19. p. 28. D.: Τότε καὶ ὁ πολὺς ἐν θεολογίᾳ Γρηγόριος . . . διδάσκων τοὺς ὀρθοδόξους ἐν τῷ τῆς ἁγίας Ἀναστασίας ναῷ κ. τ. λ. Cedren. p. 249. A.: Τότε καὶ ὁ Θεόλογος Γρηγόριος . . . τὸν λόγον ἀληθείας ἐδίδασκεν ἐν Κωνσταντίνου πόλει εἰς τὸ εὐκτήριον τῆς ἁγίας Ἀναστασίας, ἔτι μικρὸν τυγχάνον.

26) Supplenda haec e Cedreno, qui l. c. haec habet: Διssῶς γὰρ λέγεται ἡ ἐπωνυμία τοῦ τῆς ἁγίας Ἀναστασίας ναοῦ. Ἀνάστασις μὲν διὰ τὸ τὸν τῆς ὀρθοδοξίας λόγον ἐν ταύτῃ ἀναστῆναι. Ἀναστασία δὲ διὰ τὸ συμβὰν εἰς αὐτὴν θαυματούργημα. λέγεται γάρ, γυναῖκα τινὰ ἄνωθεν πεσοῦσαν ἀποθανεῖν· γενομένης δὲ κοινῆς εὐχῆς ὑπὸ τῶν ὀρθοδόξων, ταύτην ἀναστῆναι.

27) Cedren. p. 249. C: Δημοφίλῳ ἐδήλωσεν, ἢ ἀποστῆναι τῆς Ἀρείου πλάνης, ἢ ταχέως τῆς ἐκκλησίας ἐξελθεῖν. ὁ δὲ τὸ πλῆθος τῶν Ἀρειανῶν συνάξας ἔξω τῆς πόλεως ἐκκλησίαζεν . . . τεσσαράκοντα ἔτη καὶ μικρόν τι πρὸς κατασχόντων αὐτὰς [τὰς ἐκκλησίας] τῶν Ἀρειανῶν. Zonar. 19. p. 29. C.: Ὁ βασιλεὺς δόγματι τοὺς τῶν αἱρετικῶν [Ἀρειανῶν] συλλόγους κεκώλυκεν.

28) Cedren. l. c. E.: Γρηγορίῳ δὲ τῷ Θεολόγῳ τὴν ἐπισκοπὴν ἐν Κωνσταντίνου πόλει ἡ σύνοδος ἐκύρωσεν, ὡς πολλὰ καμόντι, καὶ τῆς λώβης τῶν αἱρέσεων τὴν ἐκκλησίαν ἐλευθερώσαντι.

29) Cedren. l. c.: Τινὰς δὲ τῶν ἐξ Αἰγύπτου μαθὼν ὁ μακαριώτατος τῷ πράγματι φθονήσαντας, τὸν συντακτήριον ἐπιδειξάμενος λόγον ἑκουσίως τοῦ θρόνου τῆς βασιλίδος ὑπεχώρησε . . . Νεκτάριον ἡ σύνοδος

Ὁμολογητοῦ, Θεοδόσιος εἰς τὴν πόλιν εἰσήγαγε, καὶ ἐν τῇ ἐπὶ Παῦλον ὀνομαζομένῃ ἐκκλησίᾳ ἐπέθετο, ἣν ᾠκοδόμησε Μακεδόνιος, Παύλῳ ἐπιβουλεύων. [30]) Ἡλιόδωρος, ὁ γράψας τὰ λεγόμενα Αἰθιοπικά, ἐπίσκοπος ἦν Τρίκκης ἐπὶ Θεοδοσίου· γράφει δὲ καὶ διὰ στίχων ἰάμβων τὴν τοῦ χρυσοῦ ποίησιν πρὸς τὸν αὐτὸν Θεοδόσιον. [31]) Διὰ τοὺς γενομένους φόνους ἐν Θεσσαλονίκῃ σὺν τῷ πλήθει, καὶ τῷ ὑπάρχῳ καὶ τῷ παιδὶ αὐτοῦ ἐν Μεδιολάνῳ Θεοδόσιος ἀπιὼν εἴργεται τῆς ἐκκλησίας παρὰ Ἀμβροσίου ἐπὶ πολύ. Μετὰ πολλῆς οὖν ἱκεσίας καὶ μετανοίας μόλις δεχθείς, ὡς ἔθος τὰ δῶρα προσενεγκών, τοῦ θυσιαστηρίου ἐκστῆναι τοῦτον ἐκέλευσεν Ἀμβρόσιος, διδάξας ἱερέων καὶ βασιλέων τόπον, ὃς ἐν Κωνσταντίνου πόλει ἐλθὼν ἐτύπωσε τοῦτον τῶν βασι-
Fol. 19. a. λέων, πρὸ τούτου ἔνδοθεν τοῦ θυσιαστηρίου ἱσταμένων. [32]) Ἐν Ἀντιοχείᾳ || κατασυρεῖ [33]) ἡ τῆς γυναικὸς αὐτοῦ Πλακίλλης εἰκών, φόρων ἕνεκα πλείστων· δι' ἣν ὀργισθεὶς ὁ βασιλεὺς ὄλεθρον ἄρδην ἠπείλησε τῇ πόλει: ἐκεκώλυτο δὲ διὰ τὸν τοῦ θυμοῦ νόμον, [34]) ὃν Ἀμβρόσιος γράψαι τοῦτον πεποίηκε. Τότε καὶ Ἰωάννης, ὁ Χρυσόστομος, πρεσβύτερος ἐν Ἀντιοχείᾳ ὤν, τοὺς Ἀνδριάντας ἔγραψε. [35]) Θεοδοσίου ἐν Μεδιολάνῳ τελευτήσαντος, τὸ σῶμα αὐτοῦ Ἀρκάδιος ἐν τῇ πόλει ἀποκομίσας κατατίθησιν. [36])

καὶ ὁ βασιλεὺς προχειρίζεται. Zonar. 19. p. 29. A.: Ὅτε καὶ τινες τῶν ἐπισκόπων βασκήναντες τῷ Θεολόγῳ τοῦ θρόνου χάριν Κωνσταντίνου πόλεως . . . διὸ καὶ τὸν Συντακτήριον ὁ ἅγιος συγγραψάμενος. . . ἐξίστη τοῦ θρόνου . . . Κεχειροτόνητο δὲ τῆς ΚΠόλεως πατριάρχης Νεκτάριος.

30) Cfr. not. 20.

31) Cfr. Montefalc. Palaeog. gr. p. 374.

32) Fusius haec narrant Cedren. p. 251. A. sqq. et Zonar. XIII, 18. p. 27. C. sqq.

33) Lege κατασυρεῖται. Ita enim Cedren. p. 252. E.: Μετά τινα δὲ χρόνον ὑπὸ τῶν συνεχῶν πολέμων βιαζόμενος ὁ βασιλεὺς εἰσφοράν τινα ξένην ταῖς πόλεσιν ἐπετέθεικεν. Ἡ δὲ Ἀντιόχου πόλις τὸ καινὸν τέλος οὐκ ἤνεγκεν· ὁρῶν γὰρ ὁ δῆμος τοὺς εἰσπραττομένους τιμωρουμένους, ἀρχὴν ἀταξίας ἐλάμβανε, καὶ τὴν χαλκῆν εἰκόνα τῆς πανευφήμου Πλακίλλης κατήνεγκέ τε καὶ [adde, coll. Zonar., κατὰ] πολὺ τῆς πόλεως ἔσυρε. Zonar. 19. p. 25. C.: Τοῖς Ἀντιοχεῦσι δὲ φόρων ἐπιταχθέντων νέων, κινηθεὶς ὁ δῆμος εἰς ἀγανάκτησιν διὰ τὸ καινὸν τῆς εἰσπράξεως, εἰκόνας τῆς προτέρας γαμετῆς τοῦ βασιλέως Θεοδοσίου ἐν τῇ ἀγορᾷ τῆς πόλεως αὐτῶν ἱσταμένας κατέσυρε καὶ ἔσπασεν ἐν ταῖς δημοσίαις ὁδοῖς.

34) Qui fuerit hic νόμος, discimus e Cedr. p. 252.A. Zonar. XIII, 18. p. 27. D.

35) Zonar. 18. p. 28. D.: Ὅτε καὶ ὁ παμμέγας Ἰωάννης, ὁ Χρυσόστομος, τοὺς ἐπιγραφομένους Ἀνδριάντας συνέγραψε, τῆς Ἀντιοχέων ἐκκλησίας τυγχάνων πρεσβύτερος.

36) Zonar 19. p. 29. E.: Νοσήσας δ' οὗτος ὁ βασιλεὺς ἐν Μεδιολάνοις μετήλλαξε ζωήν, ἑπτακαίδεκα ἔτη τὴν βασιλείαν ἰθύνας ἐπὶ πέντε μησί. Cedr. p. 258. D.: Μετήνεγκε δὲ τὸ σῶμα αὐτοῦ ἐν Κωνσταντίνου πόλει Ἀρκάδιος.

[XI.]

ΑΥΤΟΚΡΑΤΟΡΙΑ ΚΩΝΣΤΑΝΤΙΝΟΥ.

Ὑπελήφθη οὖν αὐτοκράτωρ Κωνσταντῖνος, ὁ τούτου [Ῥωμανοῦ] γαμβρός, 37) ὃς παραυτίκα Βάρδαν, τὸν τοῦ Φωκῆ, τῇ τοῦ Μαγίστρου ἀξίᾳ τιμήσας, ὡς χρόνῳ πολλῷ τὴν ἐν τοῖς πολέμοις ἀνδραγαθίαν πολλάκις ἐπιδειξάμενον, Δομέστικον τῶν σχολῶν προχειρίζεται· 38) εἶτα Βασίλειον, ᾧ ἐπίκλην Πετεινός, Πατρίκιον καὶ μέγαν Ἑταιρειάρχην· τὸν δὲ τοῦ γένους τῶν Ἀργυρῶν Μαριανὸν τὰ μοναχικὰ || ἀποδύσας Πατρίκιον καὶ Κόμητα τοῦ στάβλου πεποίηκεν· ὡσαύτως καὶ Μανουήλ, Fol. 2 τὸν ἐπιλεγόμενον Κουρτίκην, Πατρίκιον καὶ Δρουγγάριον τῆς βίγλης. 39) οὕστινας τρεῖς οὐ μετὰ πολὺν χρόνον ἡ τοῦ θεοῦ δικαία κρίσις, ὡς εἰς Χριστὸν κύριον παροινήσαντας, 40) καὶ χεῖρας ἀδίκους ἐπιβαλόντας, τῆς βασιλείας ὀρεγομένους, μετῆλθεν. Ἐπὶ καθοσιώσει γὰρ καταληφθέντες ἑκάτερος αὐτῶν οἰκτίστῳ θανάτῳ τὸ ζῆν ἀπέῤῥηξε. Τὰ δὲ περὶ αὐτῶν πλατύτερόν τε καὶ ἐπεξεργαστικώτερον ἐν τῇ προηγουμένῃ ἐπεξηγήσει ἐκθήσομαι. Μετὰ δὲ τεσσαράκοντα ἡμέρας, τῇ εἰκάδι ἑβδόμῃ Ἰανουαρίου μηνός, ὑποπτεύσας Κωνσταντῖνος τόν τε βασιλέα Στέφανον καὶ Κωνσταντῖνον, τὸν ἀδελφὸν αὐτοῦ, μήποτε καὶ κατ᾽ αὐτοῦ τὰ ὅμοια διαπράξωνται, καὶ λογισάμενος, ὅπερ ἦν εἰκός, ὅτι, εἰ τοῦ ἰδίου πατρὸς οὐκ ἐφείσαντο, πῶς αὐτοῦ φείσονται, ἑστιάσας αὐτούς, ἤδη ἐν τῇ τραπέζῃ καθεζομένους, ἔτι τῆς βρώσεως οὔσης ἐν τῷ στόματι αὐτῶν, ἀνήρπασαν τούτους οἵ τε λεγόμενοι Τορνίκοι, καὶ ὁ Πατρίκιος Μαριανός, καὶ λοιποὶ οἱ πρὸς τοῦτο εὐτρεπισμένοι, καὶ τοῦ Παλατίου κατήγαγον, καὶ ἐν ταῖς πλησιαζούσαις νήσοις αὐτοὺς περιώρισαν καὶ κληρικοὺς ἀπέκειραν. Μετ᾽ ὀλίγον οὖν οὗτοι, αἰτησάμενοι τὸν ἴδιον πατέρα θεάσασθαι, ἐν τῇ Πρώτῃ Νήσῳ παρεγένοντο, καὶ τοῦτον ἐν τῷ μοναχικῷ σχήματι θεασάμενοι πένθει κατεσχέθησαν ἀφορήτῳ· οἷς ἐπιδακρύσας ὁ πατὴρ ἔφη· Υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠτέθησαν. Εἶθ᾽ οὕτως ἐξωρίσθησαν· ὁ μὲν Στέφανος εἰς Προικόννησον, ἀπὸ δὲ Προικονήσου εἰς Ῥόδον, ἀπὸ δὲ Ῥόδου εἰς Μιτυλήνην· ὁ δὲ Κωνσταντῖνος εἰς Τένεδον, ἐκεῖθεν εἰς Σαμοθρᾴκην, ἐν ᾗ καὶ ἀνταρσίαν μελετήσας παρὰ τῶν αὐτὸν φυλασσόντων ἐσφάγη. 41) Μιχαὴλ δέ, τὸν τοῦ Χρι-

---

37) Cfr. Cedren. p. 496. E. Zonar. XVI, 20. p. 151. C.

38) Cedren. p. 498. B.: Βάρδαν μέν, τὸν Φωκᾶν, Μάγιστρον τιμήσας καὶ Δομέστικον τῶν σχολῶν τῆς ἀνατολῆς. Zonar. l. c. p. 152. A.: Τὸν μὲν Φωκᾶν Βάρδαν Μάγιστρον ἐτίμησε, καὶ Δομέστικον προεχειρίσατο τῶν σχολῶν τῆς ἀνατολῆς.

39) Cedren. l. c.: Βασίλειον δέ, τὸν Πετεινόν, Ἔξαρχον τῆς μεγάλης ἑταιρείας, Μαριανόν, τὸν Ἀργυρόν, Κόμητα τοῦ στάβλου, καὶ τὸν Κουρτίκην Μανουὴλ τῆς βίγλας Δρουγγάριον.

40) Cfr. Cedren. p. 452. E.

41) Zonar. l. c. C.: Ἀλλ᾽ οὐκ ἦν ὁμοφωνῆσαι τοὺς τρεῖς. Ἐν τισιν οὖν διεφέροντο, καὶ ἀλλήλοις ἀντέλεγον.

στοφόρου βασιλέως υἱόν, τὰ βασιλικὰ πέδιλα ἀφελόμενος κληρικὸν πεποίηκεν.[42]) Οὗτος δὲ
Fol. 30. a. τοῦ βασιλέως Ῥωμανοῦ ἐν τῇ νήσῳ, ὁ Πατριάρχης Θεοφύλακτος ‖ καὶ Θεοφάνης, ὁ Πατρίκιος καὶ Παρακοιμώμενος, βουλὴν ἐβουλεύσαντο, ὥστε πάλιν τοῦτον ἐν τῷ Παλατίῳ ἀναγαγεῖν· ἣν καὶ αὐτῷ ἀνακοινωσάμενοι καὶ παραπείσαντες τοῦτον ἐκαιροσκόπουν, πότε τὸ πέρας τῇ τοιαύτῃ βουλῇ ἐπιθήσουσιν. Ἐπεὶ δὲ τὰ τῆς βουλῆς ἐφωράθη καὶ κατεμηνύθη Κωνσταντίνῳ τῷ βασιλεῖ, τοὺς συνεργοὺς ταύτης ἠμύνετο· τὸν μὲν γὰρ Πατρίκιον Θεοφάνην ἐξώρισε, τὸν δὲ Πρωτοσπαθάριον Γεώργιον καὶ Πιγκέρνην, καὶ Θωμᾶν Πριμικήριον δείρας καὶ κουρεύσας καὶ μέσον τῆς πόλεως θριαμβεύσας οὕτως ὑπερορίᾳ παρέπεμψε. Δεκεμβρίῳ δὲ μηνί, ἕκτῃ Ἰνδικτίωνος, ἐπιβουλήν τινες κατὰ τοῦ βασιλέως Κωνσταντίνου ἐμελέτησαν, βουλόμενοι τὸν βασιλέα Στέφανον ἐν τῷ Παλατίῳ ἐκ τῆς νήσου ἀναγαγεῖν. Ταύτης οὖν μηνυθείσης Κωνσταντίνῳ διὰ Μιχαήλ, τοῦ Διαβολίνου λεγομένου, τοὺς ἐπιβούλους κρατήσας ὁ βασιλεύς, τῶν μὲν τὰς ῥῖνας καὶ τὰ ὦτα

κἀντεῦθεν ἀλλήλους ὑπώπτευον, καὶ κατασπᾶσαι τῆς βασιλείας τὸν γαμβρὸν Κωνσταντῖνον ὁ Στέφανος διὰ φροντίδος ἐτίθετο, καὶ ὁ Κωνσταντῖνος αὖθις τὸν Στέφανον. Ἀλλ' ἦν ὁ Κωνσταντῖνος πρὸς τὸ ἔργον ὀξύτερος .... Προσλαβόμενος τοίνυν καί τινας τῶν στρατιωτικῶν ἀρχόντων [quos Τορνίκους Noster appellat] κατέσχε καὶ ἄμφω τοὺς ἀδελφοὺς συναριστοῦντας αὐτῷ καὶ αὐτίκα τὸν μὲν εἰς τὴν νῆσον Πάνορμον ... ἐξαπέστειλε, τὸν δὲ εἰς τὴν καλουμένην Τερέβινθον, καὶ κληρικοὺς καὶ ἄμφω ἀπέκειρεν. Εἶτ' ἐκεῖθεν μεταχθῆναι μέλλοντες ἐξῄτησαν εἰς ὄψιν ἐλθεῖν τῷ πατρί· οὓς ἰδὼν ἐκεῖνος εἶπεν· Υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν. Ἐκεῖθεν οὖν ὁ μὲν Στέφανος ἐν Προικοννήσῳ περιωρίσθη, κἀκεῖθεν εἰς Ῥόδον, κἀκ ταύτης εἰς Μιτυλήνην μετετέθη· τῷ δὲ Κωνσταντίνῳ ἡ Σαμοθρᾴκη περίγραπτον ἐγένετο ὅριον. Ὃς ἀποδρᾶναι δοκιμάσας πολλάκις, καὶ διὰ τοῦτο φαρμάκῳ τὸν πρωτεύοντα τῶν φυλάκων αὐτοῦ ἀνελὼν ἀνῃρέθη παρὰ τῶν ἄλλων. Cedren. p. 497. A.: Ἐπειδὴ δὲ μὴ ἐν πᾶσιν ὁμοίως ἠρέσκοντο, ἀλλ' ἔσθ' ὅπῃ καὶ διεφώνουν, ἀρχὴ προσκρουμάτων ἐκ ταύτης τῆς αἰτίας ἐφύετο, καὶ ὑπώπτευον ἀλλήλους, καὶ ἐφωρῶντο τὸν μὲν Πορφυρογέννητον ὁ Στέφανος, ἐκεῖνον δὲ αὖθις ὁ Πορφυρογέννητος .... Τοῦ Κωνσταντίνου, ἐπείπερ ᾔσθετο ἐπιβουλευόμενος, ἀναβολὴν μὴ δεδωκότος τῇ ἐγχειρήσει .... ἐκφήνας τὸ μυστήριον τῷ εἰρημένῳ Βασιλείῳ, τῷ Πετεινῷ, καὶ δι' αὐτοῦ προσκτησάμενος τὸν Μαριανόν, ἔτι δὲ καὶ Νικηφόρον .... τοὺς Τορνικίους ... μηδὲν ὑφορωμένους τὸν Στέφανον καὶ τὸν Κωνσταντῖνον, κατ' αὐτὸν τὸν καιρὸν τοῦ ἀρίστου συναριστῶντας αὐτῷ, ἀναρπάστους τίθησι καὶ καταβιβάζει τῶν βασιλείων τῇ κζ τοῦ Ἰανουαρίου μηνός ... καὶ πλοιαρίοις ἐνθέμενος ὑπερορίζει, τὸν μὲν ἐν τῇ Πανόρμῳ νήσῳ, τὸν Κωνσταντῖνον δὲ ἐν τῇ Τερεβίνθῳ ... καὶ ἄμφω κληρικοὺς ἀποκείρει. Μεταστήσας οὐκ εἰς μακρὸν τὸν μὲν Στέφανον ἐν Προικοννήσῳ, εἶτα ἐν Ῥόδῳ, καὶ τελευταῖον ἐν Μιτυλήνῃ, τὸν δὲ Κωνσταντῖνον ἐν Σαμοθρᾴκῃ. ... ὁ Κωνσταντῖνος δὲ ... πολλάκις ἐπιχειρήσας φυγεῖν ... τὸν φυλάττοντα τοῦτον δολοφονήσας, ὑπὸ τῶν περιλοίπων καὶ αὐτὸς ἀποσφάττεται.

42) Zonar. XVI, 21. p. 152. A.: Τὸν δὲ τοῦ Χριστοφόρου υἱὸν Μιχαὴλ ἀπέκειρε κληρικόν. Cedren. p. 498. C.: Μιχαὴλ δέ, τὸν υἱὸν Χριστοφόρου τοῦ βασιλέως, ἀπέκειρε κληρικόν.

ἀπέτεμε, τοὺς δὲ δαρμῷ ἀφορήτῳ ὑπέβαλε καὶ ὄνοις ἐπικαθίσας, διὰ μέσης τῆς πόλεως ἐθριάμβευσε καὶ ἐξορίᾳ παρέπεμψε. [43]) Πεντεκαιδεκάτῃ δὲ Ἰουλίου μηνός, ἕκτῃ Ἰνδικτίωνος, Ῥωμανὸς ὁ βασιλεὺς ἐν τῇ νήσῳ Πρώτῃ τελευτᾷ, καὶ τὸ σῶμα αὐτοῦ ἐν τῇ πόλει διακομισθὲν ἐν τῇ αὐτοῦ ἀπετέθη μονῇ. [44])

---

43) Zonar. l. c. C.: Ἐπιβουλαὶ δὲ κατὰ τοῦ κρατοῦντος ἐμελετήθησαν, ἡ μὲν παρὰ τοῦ Παρακοιμωμένου Θεοφάνους, πολλοὺς καὶ ἄλλους συνίστορας ἔχοντος, καὶ βουλομένου τὸν Ῥωμανὸν ἐπαναγαγεῖν ἐκ τῆς Πρώτης νήσου εἰς τὰ βασίλεια· ἡ δὲ παρ' ἑτέρων, τὸν Στέφανον ἐκ Λέσβου λαβεῖν μελετησάντων καὶ ἀποκαταστῆσαι τῇ βασιλείᾳ. Ἀλλὰ καὶ ἄμφω τὰς ἐπιβουλὰς ὁ Κωνσταντῖνος ἐφώρασε, καὶ τοὺς μὲν συνωμότας ἐκόλασε, τοὺς δὲ βασιλεύοντας ὑπ' ἀσφαλεστέραν ἔθετο τήρησιν. Cedren. l. c. C.: Θεοφάνης τε γὰρ ὁ Παρακοιμώμενος, ἠβουλήθη τὸν πρεσβύτην Ῥωμανὸν ἐκ τῆς Νήσου Πρώτης εἰς τὸ παλάτιον ἀγαγεῖν, καὶ ἄλλους οὐκ ὀλίγους ἔχων συνίστορας· καί τινες δὲ ἕτεροι . . . . . τὸν Στέφανον ἐβουλεύσαντο ἐκ Μιτυλήνης ἀγαγεῖν, καὶ τῇ βασιλείᾳ ἐγκαθιδρῦσαι· ἀλλ' ὑπό τινων συνωμοτῶν μηνυθέντων τῶν βουλευμάτων, ὁ μὲν Θεοφάνης ἐξωρίσθη σὺν τοῖς αὐτοῦ συνεργοῖς, οἱ δὲ τοῦ Στεφάνου ἀντιποιούμενοι τυφθέντες καὶ δημευθέντες, καὶ τὰς ῥῖνας τμηθέντες ἐξωρίσθησαν.

44) Cedren. p. 497. D.: Μηνὶ δὲ Ἰουλίῳ τῆς ϛ Ἰνδικτίωνος καὶ Ῥωμανὸς . . . ἀπέτισε τὸ χρεών, καὶ ἐν τῷ Μυρελαίῳ θάπτεται. Zonar. l. c. p. 151. E.: Ὁ δὲ [Ῥωμανὸς] ἐν τῇ Πρώτῃ τὴν ζωὴν ἐξεμέτρησεν.

Sed veniendum ad altius et magnificentius argumentum, cui nostra haec commentatio mori obsecuta praelusit.

Instant GUILIELMI, REGIS AUGUSTISSIMI, sacra natalitia.

Hunc diem festum literarum nostrà universitas publicà oratione, qua

THEOPHILUS LUCAS FRIDERICUS TAFEL,

LITT. ANTIQUU. P. P. O.

DESIDERII ERASMI ROTERODAMI,

LITERARUM POTIUS, QUAM MORUM SACRORUMQUE EMENDATORIS, EXEMPLUM,

NOSTRO QUOQUE AEVO PENSITANDUM,

PROPOSITURUS EST,

cras, XXVII Sept., post concionem sacram in Aula nova rite celebrabit.

Ad quem actum, Principis patriaeque saluti individuae dicatum, omnes reipublicae nostrae fautores eà, qua par est, reverentia invitamus.

P. P. S. S. rectorali Tubingae a. d. XXVI. Sept. MDCCCXXVIII.